τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἐπιστρέφων οὐ μετὰ λύτρων, οὐ δὲ μετὰ δώρων, ἀλλ' ἐν βραχίονι ὑψηλῷ· δεξιὰ γὰρ Κυρίου καὶ νῦν ἐποίησε δύναμιν· ὃς τῷ οἰκείῳ δίδωσι δόξαν ὀνόματι, καὶ τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τῶν κλήρων τῶν δικαίων οὐ τέλεον ἀφίησιν εἰς μαστίγωσιν. Τούτων οὖν τῆς χαρᾶς κοινοὺς ἡμᾶς ποιοῦσα ἡ βασιλεία μου, τῷ παρόντι ἐπιτροχάδην ἐπιδεδήλωκε τὰ συμβάντα γράμματι, ἵν' ἔχοιτε μὲν εἰδέναι ὅσα περ γεγόνασι, λιτάζησθε δὲ συντονωτέρως τὸ θεῖον, καὶ ὑπὲρ μειζόνων τῶν κατορθώσεων· δύνανται γὰρ εὐχαὶ δικαίων καὶ χειρῶν ἁγίων ἐκτάσεις τρέπεσθαι μυριάδας, ὡς ἂν ἀσεβῶν μὲν σπέρμα μὴ παύσαιτο ἐκτριβόμενον, ζήσωσι δὲ βίοτον ἀστασίαστον οἱ θεῷ διὰ πίστεως πλησιάζοντες· ἐπεὶ καὶ τὸ νῦν τελεσθὲν ὑμεῖς μὲν θεόθεν ᾐτήσασθε, αἱ δὲ χεῖρες τῆς βασιλείας μου ἐξειργάσαντο.

---

Τοῦ αὐτοῦ λόγος εἰς τὸν αὐτοκράτορα κῦρ Ἀλέξιον τὸν Κομνηνὸν ὑποστρέψαντα ἐκ τῆς ἕω μετὰ τὰς σπονδὰς τὰς μετὰ τοῦ σουλτάνου· προσεχῶς δὲ γέγονε καὶ ἡ ἐπανάστασις κατὰ τοῦ βασιλέως τούτου τοῦ Κομνηνοῦ Ἰωάννου τοῦ λεγομένου Παχέος· εἷλκε δὲ τὸ πρὸς πατρὸς γένος ἐκ τοῦ μεγάλου δομεστίκου τοῦ λεγομένου Ἀξούχου, ὃς ἦν Πέρσης.

Γλυκὺς καὶ ἥλιος μετὰ νέφος, ἡδὺ καὶ ἔαρ μετὰ χειμῶνος κατήφειαν· χαρίεσσα καὶ χύσις θαλάσσης τοῦ κύματος ἀμφιβρύσαντος· ἀλλ' οὐχ οὕτως ἀσπάσια ταυτὶ καὶ ἐράσμια, ὡς ὄψις βασιλέως τὸν τρόπον ἐπιεικοῦς, τὰς χεῖρας μεγαλουργοῦ, περιδεξίου τοῖς ἅπασι, καὶ ἠπίου πατρὸς δίκην τὸ ὑπ' ἀρχὴν περιέποντος, ἄρτι τῶν κοινῶν καμάτων ἐπανιόντος, καὶ μεθ' ἡμέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ